**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**

**ΕΙΣ ΤΟΝ ΜΑΡΤΥΡΑ ΑΣΤΕΡΙΟΝ ΚΑΙ ΤΟΥΣ ΑΔΕΛΦΟΥΣ ΑΥΤΟΥ**

**(Γερασίμου Μοναχού του Μικραγιαννανίτου)**

Ευλογήσαντος του ιερέως, το Κύριε εισάκουσον, μεθ' ο Το Θεός Κύριος ως συνήθως και το εξής. **Ήχος δ . Ο υψωθείς εν τω Σταυρώ.**

Του μαρτυρίου τον αγώνα τελέσας Μάρτυς Αστέριε, λαμπρός εδοξάσθης παρά Χριστού ως Αθλητής αήττητος, όθεν αεί πρέσβευε πάσης ρύεσθαι βλάβης και παντοίων θλίψεων, και παθών και κινδύνων, τους εκζητούντας Άγιε πιστώς, της βοηθείας της σης την αντίληψιν.

Δόξα. Και νυν.

**Θεοτοκίον.**

Ου σιωπήσομέν ποτε Θεοτόκε…

Ο Ν' ψαλμός, και ο κανών, ου η ακροστιχίς: Αστέριε, σώζε σους οικέτας. Γερασίμου.

**Ωδή α . Ήχος πλ. Δ . Υγράν διοδεύσας.**

Αθλήσας νομίμως υπέρ Χριστού, Αστέριε μάρτυς ανομίας πάσης ημάς, ταις σαις απολύτρωσαι πρεσβείαις, ως αν Κυρίω αμέμπτως λατρεύσωμεν.

Σωμάτων οδύνης και της ψυχής, απάλλαξον Μάρτυς ικεσίαις σου προς Χριστόν, τους πίστει και πόθω σε τιμώντας, και των πταισμάτων ημίν αίτει άφεσιν.

Τοις πόνοις σου ήσχυνας τον εχθρόν, Αστέριε Μάρτυς διο πόνων ημάς πολλών, λιταίς σου απάλλαξον και δίδου, ημίν ισχύν καθαρώς πολιτεύεσθαι.

**Θεοτοκίον.**

Ετέχθη αφθόρως εκ σης γαστρός, ο άχρονος Λόγος, αλογίας ελευθερών, τους πίστει τιμώντάς σε Παρθένε, διο φθοράς των παθών καμέ λύτρωσαι.

**Ωδή γ . Ουρανίας αψίδος.**

Ρύπου πάσης κακίας τοις ρυπτικοίς νάμασι, των σων πρεσβειών Αθλοφόρε ημάς απόπλυνον, και ασινείς ημάς, εκ των βελών του Βελίαρ, φύλαττε Αστέριε τους σε γεραίροντας.

Ιλασμόν ημίν αίτει και των παθών ίασιν, και πλημμελημάτων παντοίων την απολύτρωσιν, Μάρτυς Αστέριε, ως παρρησίαν μεγίστην, μετά των συγγόνων σου, έχων προς Κύριον.

Εκτενώς εκδυσώπει τον αγαθόν Κύριον, δούναι τοις ικέταις σου Μάρτυς ειρήνην άνωθεν, και φως ουράνιον, συν τοις κλεινοίς αδελφοίς σου, ως αν βίον ένθεον, πολιτευσώμεθα.

**Θεοτοκίον.**

Σωτηρίας τεκούσα τον αρχηγόν Άχραντε, σάρκα την ημών ειληφότα, δι' αγαθότητα, αυτόν ικέτευε, σώσαι καμέ τον αχρείον, τον παραπικράναντα, αυτού τον εύσπλαγχνον.

Διάσωσον, ταις σαις πρεσβείαις Αστέριε Αθλοφόρε, από πάσης οδυνηράς περιστάσεως, τους προσιόντας τη θεία σου προστασία.

Επίβλεψον, εν ευμενεία…

**Κάθισμα. Ήχος β . Πρεσβεία θερμή.**

Ως Μάρτυς στερρός Χριστού του Παντοκράτορος, δυσώπει αεί Αστέριε μακάριε, μετά των αυταδέλφων σου, του εχθρού και δεινού κοσμοκράτορος, επηρειών εκλυτρούσθαι ημάς, τους μέλποντας Άγιε τους άθλους σου.

**Ωδή δ . Εισακήκοα Κύριε.**

Ως θερμός αντιλήπτωρ μου, ρύου με Αστέριε πάσης θλίψεως, καθ' εκάστην επορέγων μοι, χείρας βοηθείας τω οικέτη σου.

Ζάλης πάσης απάλλαττε, της κατά ψυχής και σώμα δεόμεθα, τους προστρέχοντας Αστέριε, τη συμπαθεστάτη προστασία σου.

Εν Χριστώ δυναμούμενοι, Μάρτυρες αυτάδελφοι ηγωνίσασθε, και καθείλετε τον τύραννον, και προστάται πάντων ημών ώφθητε.

**Θεοτοκίον.**

Σαρκωθείς εξ αιμάτων Σου, Ο το είναι πάσι παρέχων Κύριος, προστασίαν Σε ανέδειξε, πάντων των ανθρώπων Μητροπάρθενε.

**Ωδή ε . Φώτισον ημάς.**

Όμβρησον ημίν, οικτιρμών Χριστού το έλεος, ταις προς Κύριον πρεσβείαις σου σοφέ, ίνα πόθω σε γεραίρομεν Αστέριε.

Ύψωσον ημάς, εκ βυθού των παραπτώσεων, επί πέτραν μετανοίας ασφαλή, τους προστρέχοντας Αστέριε τη σκέπη σου.

Σύμφρων εν παντί, τοις συγγόνοις σου γενόμενος, συν αυτοίς κατηγωνίσω τον εχθρόν, ου της λύμης ημάς λύτρωσαι Αστέριε.

**Θεοτοκίον.**

Όρος υψηλόν, και κατάσκιον του Κτίσαντος, ύψωσόν μου την διάνοιαν Αγνή, προς αγάπην του εκ σου Παρθένε λάμψαντος.

**Ωδή στ . Την δέησιν.**

Ισχύϊ, τη θεϊκή τας οδύνας, στερροτάτη καθυπέμεινας γνώμη, όθεν ημάς οδυνών πολυτρόπων, και πειρασμών ολεθρίων απάλλαξον, Αστέριε Μάρτυς Χριστού και χαράν ημίν δίδου ούράνιον.

Καθείλες, τον πολυμήχανον όφιν, ανενδότω σου αθλήσει παμμάκαρ, όθεν ημάς της αυτού πονηρίας, και κακουργίας ατρώτους διάσωζε, πρεσβείαις σου προς τον Χριστόν, Αθλοφόρε Αστέριε ένδοξε.

Εκ πάσης, φθοροποιού αλγηδόνος, και παντοίων παθημάτων και νόσων, και συνοχής και στενώσεως πάσης, επερχομένων κινδύνων και θλίψεων, Αστέριε Μάρτυς Χριστού, ανωτέρους ημάς διαφύλαττε.

**Θεοτοκίον.**

Τον πάντων, Δημιουργόν και Δεσπότην, ον αφράστως απεκύησας Κόρη, υπέρ ημών εκδυσώπει απαύστως, ημίν διδόναι πταισμάτων συγχώρησιν, μετάνοιαν ειλικρινή, Θεοτόκε και βίου διόρθωσιν.

Διάσωσον, ταις σαις πρεσβείαις Αστέριε Αθλοφόρε, από πάσης οδυνηράς περιστάσεως, τους προσιόντας τη θεία σου προστασία.

Άχραντε…

**Κοντάκιον. Ήχος β . Τοις των αιμάτων σου.**

Ώσπερ αστήρ εν τοις Μάρτυσιν έλαμψας, και καταυγάζεις ημών την διάνοιαν, και νυν των παθών την σκοτόμαιναν, εκ των ψυχών ημών λύσον Αστέριε, φωτί πρεσβειών σου δεόμεθα.

**Προκείμενον:** Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος.

**Ευαγγέλιον, εκ του κατά Λουκάν.**

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς: Προσέχετε από των ανθρώπων· επιβαλούσι γαρ εφ’ υμάς τας χείρας αυτών, και διώξουσι, παραδιδόντες εις συναγωγάς και φυλακάς, αγομένους επί βασιλείς και ηγεμόνας ένεκεν του

ονόματός μου. Αποβήσεται δε υμίν εις μαρτύριον. Θέσθε ουν εις τας καρδίας υμών μη προμελετάν απολογηθήναι, εγώ γαρ δώσω υμίν στόμα και σοφίαν, η ου δυνήσονται αντειπείν, ουδέ αντιστήναι πάντες οι αντικείμενοι υμίν. Παραδοθήσεσθε δε και υπό γονέων και αδελφών και φίλων και θανατώσουσιν εξ υμών, και έσεσθε μισούμενοι υπό πάντων δια το όνομά μου, και θριξ εκ της κεφαλής υμών ου μη απόληται. Εν τη υπομονή υμών κτήσασθε τας ψυχάς ημών.

Δόξα: Ταις των Αθλοφόρων…

Και νυν: Ταις της Θεοτόκου…

**Προσόμοιον. Ήχος πλ. Β . Όλην αποθέμενοι. Στ.: Ελεήμον, ελέησόν με ο Θεός...**

Άστρον φαεινότατον, εν Αθλοφόροις εδείχθης, και συν τοις ομαίμοσι, τον του σκότους άρχοντα καταβέβληκας, Αθλητά ένδοξε, Αστέριε μάκαρ, δια τούτό σου δεόμεθα, απαύστως πρέσβευε, μετά των κλεινών αυταδέλφων σου, Χριστώ τω πανοικτίρμονι, άφεσιν πταισμάτων δωρήσασθαι, και ισχύν διδόναι, πατείν τας μεθοδείας του εχθρού, τους ευλαβώς μακαρίζοντας, τους στερρούς αγώνάς σου.

**Ωδή ζ . Οι εκ της Ιουδαίας.**

Αικισμούς δριμυτάτους υπομείνας κουφίζεις ημών εκάστοτε, τους πόνους και τα άλγη, τη ση επιστασία, των βοώντων Αστέριε: Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Συνοχής ολεθρίου και παθών ακαθάρτων ψυχής και σώματος, και πάσης αμαρτίας απάλλαττε απαύστως, τους βοώντας Αστέριε: Ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Γνώμην έχοντες μίαν ομοφρόνως ηθλήσατε παναοίδιμοι, τετράς η των Μαρτύρων, διο εν ομονοία και αγάπη τηρήσατε, απεριτρέπτους ημάς, αυτάδελφοι οπλίται.

**Θεοτοκίον.**

Εξ εχθρών αοράτων και ποικίλων σκανδάλων και περιστάσεων, διάσωζε ατρώτους, Παρθένε Θεοτόκε, τους εν πίστει βοώντάς σοι: Χαίρε ημών προσφυγή, και πάντων προστασία.

**Ωδή η . Τον Βασιλέα.**

Ρώσιν παράσχου, ψυχής και σώματος Μάρτυς, τοις υμνούσί σου Αστέριε τους άθλους, και υπερυψούσι, Χριστόν εις τους αιώνας.

Άνωθεν Μάρτυς, δίδου ημίν αοράτως, την ταχείάν σου βοήθειαν εν πάσι, τοις ανευφημούσι, τους ιερούς σου άθλους.

Σύντριψον Μάρτυς, τον πολυμήχανον όφιν, ωρυόμενον κατά των οικετών σου, και της τούτου βλάβης, ατρώτους ημάς τήρει.

**Θεοτοκίον.**

Ίασαι Κόρη, την ασθενούσαν ψυχήν μου, και εκκάθαρον τον νουν μου ρυπωθέντα, ρείθροις σωτηρίοις, των οικτιρμών σου Κόρη.

**Ωδή θ . Κυρίως Θεοτόκον.**

Μαρτύρων ταις χορείαις, συν τοις αυταδέλφοις, συναγελάζων παμμάκαρ Αστέριε, συν αυτοίς αίτει διδόναι ημίν τα κρείττονα.

Ω Μάρτυς του Σωτήρος, Αστέριε μάκαρ, της σωτηρίας ημάς καταξίωσον, ταις προς αυτόν μεσιτείαις σου δυσωπούμέν σε.

Υδάτων ζωηρρύτων, εντρυφών αϋλως, συν τοις κλεινοίς αδελφοίς σου Αστέριε, σταγόνα χάριτος θείας καμοί επόμβρησον.

**Θεοτοκίον.**

Υμνούμέν σε Παρθένε, ως Θεού Μητέρα, και ασιγήτως το χαίρέ σοι κράζομεν: Συ γαρ επήγασας κόσμω την αγαλλίασιν.

Άξιόν εστι, και τα Μεγαλυνάρια.

Άστρον ευσεβείας θεοφεγγές, Αστέριε Μάρτυς ταις ακτίσι ταις νοηταίς, της σης προστασίας, παθών λύσον τον ζόφον, και ευφροσύνης φέγγος ημίν ανάτειλον.

Ήθλησας Αστέριε ανδρικώς, συν τοις αυταδέλφοις και κατήσχυνας τον εχθρόν, ου της πονηρίας, απήμονας συντήρει, τους εκζητούντας Μάρτυς την σην βοήθειαν.

Πόνους αφορήτους υπενεγκών, πόνων εκλυτρούσαι Αθλοφόρε και οδυνών, τους εν ευλαβεία, τη θεία σου εικόνι, Αστέριε εστώτας και ευφημούντάς σε.

Χαίροις αυταδέλφων τετράς σεπτή , Αστέριε Νέων Νεονίλλα η θαυμαστή, μετά του Κλαυδίου, τα πανευώδη άνθη, τα πνέοντα τοις πάσιν, οσμήν ουράνιον.

Χαίρων ηγωνίσω υπέρ Χριστού, σαρκός αφειδήσας, ουρανόφρονι λογισμώ: Όθεν Ασωμάτων, συνόμιλος εγένου, συν τοις τρισίν Αστέριε αυταδέλφοις σου.

Πρέσβευε απαύστως υπέρ ημών, Αστέριε Μάρτυς, συν τοις θείοις σου αδελφοίς, όπως εν ειρήνη, διάγωμεν τον βίον, και δόξης ουρανίου αξιωθείημεν.

Πάσαι των Αγγέλων…

Το τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και Απόλυσις, μεθ' ην ψάλλομεν το εξής. **Ἠχος β . Ὁτε εκ του ξύλου.**

Μάρτυς, Αθλοφόρε του Χριστού, έχων προς αυτόν παρρησίαν απαύστως πρέσβευε, Άγιε Αστέριε, συν τοις ομαίμοσι, πάσης ρύεσθαι θλίψεως, και πάσης ανάγκης, τους θερμώς προστρέχοντας, τη αντιλήψει σου, λύων συμφορών τον χειμώνα, και χαράν την θείαν παρέχων, τοις ειλικρινώς σε μακαρίζουσι.

Δέσποινα πρόσδεξαι…

Την πάσαν ελπίδα μου.

**Δίστιχον.**

Τήνδε την δέησιν Αστέριε δέξαι,

Και δίδου την χάριν σου τω Γερασίμω.